κεκεραυνωμένων ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ Εὐπόλιδος μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῆς ἐκεῖνος. ἐν Λικυμνίοις δὲ, δράματι Εὐριπίδου, εἰσήχθη τις κεραυνοβολούμενος. Τῶν παφλασμάτων.] ἐκ βρασμῶν. ἀναζεμάτων.

Bisetvs. Παφλάζειν, ἢ καχλάζειν λέγεται τὸ ἐπιτεταμένως ζέον ὕδωρ. καὶ κύματα παφλάζοντα, τὰ ποιὸν ἦχον ἀποτελοῦντα. παφλάζειν γὰρ κυρίως σημαίνει τὸ τὴν θάλατταν κυμαινομένην ἠχεῖν. αὐτὴ δὲ ἡ λέξις παρ' Ὁμήρῳ πεποίηται πρὸς ἤχου μίμησιν, ὃν ὁ τῶν
B κυμάτων βρασμὸς ἀποτελεῖ. παφλάζειν δὲ μεταφορικῶς ταράττεσθαι, καὶ τινὰ λαλοῦντα κρατεῖσθαι, καὶ ἀνακόπτεσθαι. οὕτω δὲ σχηματίζεται, φλέω, ὃ καὶ φλύω, τὸ ἀναπέμπω, καὶ ἀναδίδωμι. κατὰ συγκοπὴν, ἢ κατὰ κρᾶσιν φλῶ, τὸ παράγωγον, φλάζω, ὡς ῥίπτω, ῥιπτάζω, ἐνθουσιῶ, ἐνθουσιάζω, καὶ κατ' ἀναδιπλασιασμὸν φαφλάζω, εὐφωνίας δὲ χάριν τὸ φ εἰς π τρέπεται, καὶ γίνεται παφλάζω.

Σχόλια. Εἴ με λυπήσει πέρα] ἀντὶ τοῦ πέρα τοῦ δέοντος. παρατραγῳδεῖ καὶ αὐτός. Καὶ δόμους Ἀμφίονος.
C ἐκ Νιόβης Αἰσχύλου ἐξέρριπται δὲ τὸ Ἀμφίονος ἐκ μονῳδίας. Παρδαλᾶς.] παρδάλων δορὰς. ἔπαιξε πρὸς τὴν πτέρωσιν αὐτῶν. κυάνεοι γάρ. Εἷς Πορφυρίων.] ὁ
A γίγας τῷ Διὶ πολεμήσας. ὃν ἐχειρώσατο Ἀφροδίτη. Τρέμβολον] πολλάκις ἐμβαλεῖν δυνάμενον. μή ποτε δὲ καὶ πλοίου τις ἦν κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν.

Bisetvs. Σεύειν, καὶ σεύεσθαι, τὸ παρακινεῖν, καὶ παρορμᾶν. τελέμβολον δὲ δηλοῖ τοῦ τῆς νεὼς ἔμβολον, τὸ χάλκωμα τὸ περιτιθέμενον κατὰ τὴν πρῷραν, ὡς φησιν Ἡσύχιος. τελέμβολον δὲ λέγεται παρὰ τὸ τρεῖς ἐμβόλους, ἢ χαλκώματα ἔχειν. οὕτω δὲ αἰνίττεται τὸ ἀνδρεῖον αἰ-
B δοῖον, ἀλλὰ κατ' εὐφημισμόν. χαριέντως οὖν λέγει σεύεσθαι τριέμβολον, ἀντὶ τοῦ μεθ' ὁρμῆς εἰς ἀφροδίσια φέρεσθαι, καὶ ἰσχυρῶς ἐν τῇ συνουσίᾳ τὰς ὀσφῦς κρούειν. σύω δὲ (ὅθεν τὸ σύομαι Ἀττικῶς τὸ παθητικὸν, ἢ μέσον ἀντὶ τοῦ ἐνεργητικοῦ) τὸ ὁρμῶ, παρὰ τὸ σέω, σῶ, ὅθεν καὶ τὸ σείω. παρὰ δὲ τῷ Σουίδᾳ ἐν τῷ τριέμβολον, γράφεται σύωμαι. εὑρίσκεται καὶ τρίτη γραφὴ, σύομαι.

Σχόλια. Εὐρὰξ πατάξ.] ἐπιρρήματά τινα ἀνέπλασεν εἰς τὸ κακέμφατον παρὰ τὸ εὐρέως συμμιγῆναι καὶ τὸ παλάξαι. ὅθεν καὶ χαμαιτύπαι, αἱ πόρναι. καὶ Μέ-
C νανδρος. πρῴην Ἄρης ἐπάταξα. Καταιθαλώσεις τινά.] πρὸς τὴν Ἶριν λέγει ὡς ἑταιρίδιον. καταιθαλώσεις οὖν τῷ ἔρωτι.

ΣΤΡΟΦΗ

κώλων ζ'.

Χο. Ἀποκεκλήκαμεν
Διογενεῖς θεοὺς,
Μηκέτι γε τὴν ἐμὴν
Διαπερᾶν πόλιν.
Μηδέ τιν' ἱερόθυ-
τον ἀνὰ δάπεδον ἔτι
Τῇδε βροτῶν, θεοῖσι πέμπειν ἂν καπνόν.

VERSIO membrorum septem.

D CH. Clamauimus
A Ioue genitos Deos
Non amplius meam
Transire ciuitatem,
Neque aliquem sacer-
Dotem in pauimento adhuc
Hic hominem deis mittere fumum.

Σχ. Ἀποκεκλήκαμεν.] ἀπηγορεύσαμεν. κορωνὶς δὲ καὶ ἔκθεσις μέλους χοροῦ μεσῳδικὴ κώλων παιωνικῶν ς. ὧν τὸ α' καὶ β. δίμετρα βραχυκατάληκτα, ἤτοι ἡμιόλια. τὸ γ δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερές. τὸ δὲ ὅμοιον
E τῷ α'. τὸ ε' ὅμοιον τῷ γ. τὸ δὲ ς δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἔν τισι δὲ β κῶλα συνῆπται ταῦτα. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος ὅμοιος τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΚΗΡΥΞ.

PISTHETERVS, PRÆCO.

F

Biset. Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων μδ'.

Πει. Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
Οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
Κηρ. Ὦ Πισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε.
Ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε.
Ὦ τρισμακάρι', ὦ κατακέλευσον. Πει. τί σὺ λέγεις;
Κηρ. Στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
Στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
Πισ. Δέχομαι. τί δ' οὕτως οἱ λεῴ τιμῶσί με;

PI. GRaue præconem ad homines
Euntem, si nunquam redibit iterum.
PR. O Pisthetæra, ô beate, ô sapientissime,
O gloriosissime, ô sapientissime, ô splendidissime,
O ter beate, ô iube. PI. Quid tu dicis?
G PR. Corona te aurea hac sapientiæ gratia,
Coronant & honorant omnes populi.
PI. suscipio. quid autem sic populi honorant me?

Σχόλια. Δεινόν τε τὸν κήρυκα.] τοῦτο Ἀττικὸν τὸ σχῆμα. ἔστι γὰρ αἰτιατικὴ, ἀντὶ εὐθείας. ἀντὶ τοῦ ὁ κήρυξ. ἐν

δεῖ